αὐτοῦ, αὐτὸς δὲ οὐκ ἐπέγνω· καὶ πολιαὶ ἐξήνθησαν αὐτῷ, καὶ αὐ-
10 τὸς οὐκ ἔγνω. [10]καὶ ταπεινωθήσεται ἡ ὕβρις Ισραηλ εἰς πρόσωπον
αὐτοῦ, καὶ οὐκ ἐπέστρεψαν πρὸς κύριον τὸν θεὸν αὐτῶν καὶ οὐκ
11 ἐξεζήτησαν αὐτὸν ἐν πᾶσι τούτοις. [11]καὶ ἦν Εφραιμ ὡς περιστερὰ
ἄνους οὐκ ἔχουσα καρδίαν· Αἴγυπτον ἐπεκαλεῖτο καὶ εἰς Ἀσσυρί-
12 ους ἐπορεύθησαν. [12]καθὼς ἂν πορεύωνται, ἐπιβαλῶ ἐπ᾿ αὐτοὺς τὸ
δίκτυόν μου· καθὼς τὰ πετεινὰ τοῦ οὐρανοῦ κατάξω αὐτούς, παι-
13 δεύσω αὐτοὺς ἐν τῇ ἀκοῇ τῆς θλίψεως αὐτῶν. [13]οὐαὶ αὐτοῖς, ὅτι
ἀπεπήδησαν ἀπ᾿ ἐμοῦ· δείλαιοί εἰσιν, ὅτι ἠσέβησαν εἰς ἐμέ· ἐγὼ
δὲ ἐλυτρωσάμην αὐτούς, αὐτοὶ δὲ κατελάλησαν κατ᾿ ἐμοῦ ψεύδη.
14 [14]καὶ οὐκ ἐβόησαν πρός με αἱ καρδίαι αὐτῶν, ἀλλ᾿ ἢ ὠλόλυζον ἐν
ταῖς κοίταις αὐτῶν· ἐπὶ σίτῳ καὶ οἴνῳ κατετέμνοντο. ἐπαιδεύθη-
15 σαν ἐν ἐμοί, [15]κἀγὼ κατίσχυσα τοὺς βραχίονας αὐτῶν, καὶ εἰς ἐμὲ
16 ἐλογίσαντο πονηρά. [16]ἀπεστράφησαν εἰς οὐθέν, ἐγένοντο ὡς τόξον
ἐντεταμένον· πεσοῦνται ἐν ῥομφαίᾳ οἱ ἄρχοντες αὐτῶν δι᾿ ἀπαι-
δευσίαν γλώσσης αὐτῶν· οὗτος ὁ φαυλισμὸς αὐτῶν ἐν γῇ Αἰγύπτῳ.
8 [1]Εἰς κόλπον αὐτῶν ὡς γῆ, ὡς ἀετὸς ἐπ᾿ οἶκον κυρίου, ἀνθ᾿ ὧν
παρέβησαν τὴν διαθήκην μου καὶ κατὰ τοῦ νόμου μου ἠσέβησαν.
2 3 [2]ἐμὲ κεκράξονται Ὁ θεός, ἐγνώκαμέν σε. [3]ὅτι Ισραηλ ἀπεστρέψατο
4 ἀγαθά, ἐχθρὸν κατεδίωξαν. [4]ἑαυτοῖς ἐβασίλευσαν καὶ οὐ δι᾿ ἐμοῦ,
ἦρξαν καὶ οὐκ ἐγνώρισάν μοι· τὸ ἀργύριον αὐτῶν καὶ τὸ χρυσίον
5 αὐτῶν ἐποίησαν ἑαυτοῖς εἴδωλα, ὅπως ἐξολεθρευθῶσιν. [5]ἀπότριψαι
τὸν μόσχον σου, Σαμάρεια· παρωξύνθη ὁ θυμός μου ἐπ᾿ αὐτούς·
6 ἕως τίνος οὐ μὴ δύνωνται καθαρισθῆναι [6]ἐν τῷ Ισραηλ; καὶ αὐτὸ
τέκτων ἐποίησεν, καὶ οὐ θεός ἐστιν· διότι πλανῶν ἦν ὁ μόσχος
7 σου, Σαμάρεια. [7]ὅτι ἀνεμόφθορα ἔσπειραν, καὶ ἡ καταστροφὴ αὐ-
τῶν ἐκδέξεται αὐτά· δράγμα οὐκ ἔχον ἰσχὺν τοῦ ποιῆσαι ἄλευρον·
8 ἐὰν δὲ καὶ ποιήσῃ, ἀλλότριοι καταφάγονται αὐτό. [8]κατεπόθη Ισραηλ,
9 νῦν ἐγένετο ἐν τοῖς ἔθνεσιν ὡς σκεῦος ἄχρηστον. [9]ὅτι αὐτοὶ ἀν-
έβησαν εἰς Ἀσσυρίους· ἀνέθαλεν καθ᾿ ἑαυτὸν Εφραιμ, δῶρα ἠγά-
10 πησαν· [10]διὰ τοῦτο παραδοθήσονται ἐν τοῖς ἔθνεσιν. νῦν εἰσδέ-
ξομαι αὐτούς, καὶ κοπάσουσιν μικρὸν τοῦ χρίειν βασιλέα καὶ ἄρ-
11 χοντας. [11]ὅτι ἐπλήθυνεν Εφραιμ θυσιαστήρια, εἰς ἁμαρτίας ἐγένοντο
12 αὐτῷ θυσιαστήρια ἠγαπημένα. [12]καταγράψω αὐτῷ πλῆθος καὶ τὰ
νόμιμα αὐτοῦ, εἰς ἀλλότρια ἐλογίσθησαν θυσιαστήρια τὰ ἠγαπημένα.
13 [13]διότι ἐὰν θύσωσιν θυσίαν καὶ φάγωσιν κρέα, κύριος οὐ προσδέ-
ξεται αὐτά· νῦν μνησθήσεται τὰς ἀδικίας αὐτῶν καὶ ἐκδικήσει τὰς

9 επεγνω A] επ > BQ*LC* || 15 και > A† || 16 εντεταμ.] ου τεταμ. *L*
8 1 ησεβησαν > B*† || 5 παροξυνθη B* || 7 ανεμοφθορια A† | fin. αυτο] -τα B**C*† || 9 ηγαπησεν A*LC* || 10 παρεδοθησαν AQ^c† | κοπιασουσιν A* | μικρον > A† || 11 αμαρτιαν AQ | ηγαπημενα] pr. τα AV†: cf. 12 fin. || 12 αυτου] μου B*